A bum ἐφέξω est πέμψω. Putem verò sequentia τίνα πρόφασιν ἔχων esse delenda velut glossema superiorum verborum τοῦ δ' ἐφέξειν, id est, quo prætextu. Tamen non absurdè existimo explicari posse ἐφελκύσειν, quasi dicat, Quid sperat tandem obtinere dum te hic malè habet? Paulò pòst vbi habes τ' ἀνδρὸς τοῦδε, legerem propter metrum τουδὶ, sed & paulò superius ἐτόλμησεν λέγειν non ἐτόλμησε.

Χο. Τοῦτ' ἐτόλμησ' ὁ μιαρὸς χανεῖν ὁ Δημολογοκλέων,
Εἴπερ λέγεις περὶ τῶν νεῶν ἀληθές αὖ;
B Φι. Οὐ γὰρ ἂν ποθ' οὗτος ἀνὴρ τοῦτ' ἐτόλμησε λέγειν.
Εἰ μὴ ξυνωμότης τις ἦν.
Χο. Ἀλλ' ἐκ τούτων ὥρα τινά σοι ζητεῖν καινὴν ἐπίνοιαν.
Ἥτις σε λάθρα τἀνδρὸς τουδὶ καταβῆναι δεῦρο ποιήσει.
Φι. Τίς ἂν οὖν εἴη; ζητεῖθ' ὑμεῖς. ὡς πᾶν ἔγωγε ποιοίην.
C Οὕτω κιττῶ διὰ τῶν σανίδων μετὰ χοιρίνης περιελθεῖν.
Χο. Ἔστιν ὀπὴ δῆθ' ἥν τιν' ἂν ἔνδοθεν οἷός τ' εἴης διορύξαι.
Εἶτ' ἐκδῦναι ῥάκεσι κρυφθεὶς ὥσπερ πολύμητις Ὀδυσσεύς.
Φι. Πάντα πέφρακται κοὐκ ἔστιν ὀπῆς οὐδ' εἰ σέρφῳ διαδῦναι.
D Ἀλλ' ἄλλο τι δεῖ ζητεῖν ὑμᾶς. ὀπίαν δ' οὐκ ἔστι γενέσθαι.
Χο. Μέμνησαι δῆθ' ὅτ' ἐπὶ στρατιᾶς κλέψας ποτὲ τοὺς ὀβελίσκους,
Ἱεὶς σαυτὸν κατὰ τοῦ τείχους, ὅτε δή γ' ἡ Νάξος ἑάλω;
Φι. Οἶδ' ἀλλὰ τί τοῦτ'; οὐδὲν γὰρ τοῦτ' ἐστ' ἐκείνῳ προσόμοιον.
Ἥβων γὰρ, καὶ δυνάμην κλέπτειν. ἴσχυόν τ' αὐτὸς ἐμαυτοῦ.
E Κοὐδείς μ' ἐφύλαττεν, ἀλλ' ἐξῆν μοι
Φεύγειν ἀδεῶς. νῦν δὲ σὺν ὅπλοις
Ἄνδρες ὁπλῖται διαταξάμενοι,
Κατὰ τὰς διόδους σκοπιωροῦνται.
Τὼ δὲ δύ' αὐτῶν ἐπὶ ταῖσι θύραις
Ὥσπερ με γαλῆν κρέα κλέψασαν,
Τηροῦσιν ἔχοντ' ὀβελίσκους.

*CH. Ausus effutire id ille Nugi publici Cleon?*
*Si vera tu loqueris super triremibus?*
*PH. Nempe coniurationis iste ni sit particeps*
*Non ausit ista dicere.*
*CH. Sed tempus nunc est quærere sollertem technam atque nouam qua*
*Possimus ab hinc clàm te extractum dare & huc demittere tandem.*
*PH. Labor hic vobiscum esto, mi certum omnes intendere neruos,*
*Sic ardet mens mihi per tabulas spaciari iudiciales.*
*CH. Nempe foramen forsitan intus habes quod possis fodicare*
*Tum pannis fallere tectus ceu fecit versutus Vlysseus.*
*PH. Omnia sunt obturata probè, nec formica egrediatur.*
*Vobis alia est rimanda via, hic rimam non est reperire.*
*CH. Meminens esto te in militia cùm clepsisses obeliscos*
*Ipsum euasisse agilem è muro, cùm capta est insula Naxus.*
*PH. Factum hoc memini, sed quid faciam: nihil est facto simile illi,*
*Nam puber eram, furtáque faciebam, magnis viribus auctus*
*Custode carens poteram impunè*
*Fugere intrepidus, quolibet ire.*
*Nunc viri in armis tanquam in specula*
*Nostros aditus vndique seruant.*
*Quorum instant duo foribus nostris*
*Qui verua tenent, meque tuentur*
*Felem veluti rapicarnem.*

F

Σχόλια. Ὁ Δημολογοκλέων.] ὁ τύραννος καὶ ἀρχοντιῶν. συνέθηκε τὴν λέξιν ἐκ τοῦ δήμου καὶ τοῦ λόγου καὶ τοῦ Κλέωνος. δηλοῖ δὲ τὸ ἀρχικόν. καθάπερ ἐν τῷ δήμῳ ἄρχειν. τοῦτο δὲ εἴρηκε διὰ τὸ τὸν Κλέωνα πολυλόγον εἶναι καὶ τοῖς λόγοις ἐξαπατᾷν τὸν δῆμον. ἐπὶ δὲ τὸ αὐτὸ ἦθος κατενήνεκται. ἐπεὶ ὁ χορὸς πρὸς τοῦ Κλέωνος ἐτύγχανεν. Εἴπερ λέγεις.] ὅτι ἀληθὲς λέγεις περὶ τῶν τριήρων. οὐ παῤῥησίαν ἄγεις περὶ τοῦ δήμου. μελετᾷ δὲ ὁ χορὸς κακουργίαν φάσκων. ἐπεὶ ὑπὲρ χρησίμου τῆς πόλεως λέγεις εἰσηγούμενος περὶ τριηραρχίας ἐγκλείει σε. τινὲς δὲ οὕτως. ἔτι εἴποις κακὸν περὶ τῶν νεῶν, τοῦτο ἀληθές ἐστι. διαβάλλει δὲ τοῦτον. οὐ γὰρ περὶ νεῶν ἐστιν ὁ λόγος, ἀλλὰ περὶ τοῦ μὴ δικάζειν αὐτόν. ξυνωμότας δὲ ἔλεγον τοὺς ἐπὶ καταλύσει τοῦ δήμου συνερχομένους. δεῦρο δὲ, πρὸς ἡμᾶς. Οὕτω κιττῶ.] ἐπιθυμῶ, ἀπὸ τῶν ἀρτίως τικτουσῶν γυναικῶν καὶ ἐπιθυμουσῶν τινῶν. εἴρηται δὲ ἐπὶ τοῦ ὀρνέου τῆς κίττης, ὅπερ ἐπιθυμητικῶς ἔχον τῶν ἀκροδρύων, ταχέως δυσαρεστεῖται. ἐξ ὧν δ' ἂν ἐσθίοι, καὶ πάλιν ἑτέρων ἐπιθυμεῖ. καὶ μεταβάσεις ποιεῖται εἰς ἕκαστον τῶν δένδρων. Διὰ τῶν σανίδων.] τῶν δρυφάκτων τῶν πυλωτῶν τοῦ δικαστηρίου εἰσελθεῖν. ἢ σανίδων φησὶ τῶν περιεχουσῶν τὰ ὀνόματα τῶν εἰσαχθησομένων εἰς τὸ δικαστήριον. ποῖον δ' ἔχει πρῶτον εἰσαχθῆναι καὶ κατὰ τάξιν.

**Christ.** Εἴπερ λέγεις] Scholia Græca viden-
G tur legisse ὅτι λέγεις, vel potius accepisse Si pro Quia, tamen si legis εἴπερ legendum λέγοις, & hanc diuersam lectionem notant eadem Scholia vt dicat, si quid mali autumas de nauibus & trierarchia (quod erat publicum munium) hoc verum est. Sed calumniosè infert de triremibus de quibus nulla querela instituitur, sed de eo quod iudicare pro-